καὶ ἔλαβεν τὴν Ρεβεκκαν, καὶ ἐγένετο αὐτοῦ γυνή, καὶ ἠγάπη-
σεν αὐτήν· καὶ παρεκλήθη Ισαακ περὶ Σαρρας τῆς μητρὸς αὐτοῦ.
25 [1]Προσθέμενος δὲ Αβρααμ ἔλαβεν γυναῖκα, ᾗ ὄνομα Χεττουρα.
2 [2]ἔτεκεν δὲ αὐτῷ τὸν Ζεμραν καὶ τὸν Ιεξαν καὶ τὸν Μαδαν καὶ
3 τὸν Μαδιαμ καὶ τὸν Ιεσβοκ καὶ τὸν Σωυε. [3]Ιεξαν δὲ ἐγέννησεν
τὸν Σαβα καὶ τὸν Θαιμαν καὶ τὸν Δαιδαν· υἱοὶ δὲ Δαιδαν ἐγέ-
νοντο Ραγουηλ καὶ Ναβδεηλ καὶ Ασσουριιμ καὶ Λατουσιιμ καὶ
4 Λοωμιμ. [4]υἱοὶ δὲ Μαδιαμ· Γαιφα καὶ Αφερ καὶ Ενωχ καὶ Αβιρα
καὶ Ελραγα. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττουρας.
5 [5]Ἔδωκεν δὲ Αβρααμ πάντα τὰ ὑπάρχοντα αὐτοῦ Ισαακ τῷ υἱῷ
6 αὐτοῦ, [6]καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν Αβρααμ δόματα
καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ Ισαακ τοῦ υἱοῦ αὐτοῦ ἔτι ζῶντος
αὐτοῦ πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν.
7 [7]Ταῦτα δὲ τὰ ἔτη ἡμερῶν ζωῆς Αβρααμ, ὅσα ἔζησεν· ἑκατὸν
8 ἑβδομήκοντα πέντε ἔτη. [8]καὶ ἐκλιπὼν ἀπέθανεν Αβρααμ ἐν γήρει
καλῷ πρεσβύτης καὶ πλήρης ἡμερῶν καὶ προσετέθη πρὸς τὸν λαὸν
9 αὐτοῦ. [9]καὶ ἔθαψαν αὐτὸν Ισαακ καὶ Ισμαηλ οἱ υἱοὶ αὐτοῦ εἰς
τὸ σπήλαιον τὸ διπλοῦν εἰς τὸν ἀγρὸν Εφρων τοῦ Σααρ τοῦ
10 Χετταίου, ὅ ἐστιν ἀπέναντι Μαμβρη, [10]τὸν ἀγρὸν καὶ τὸ σπήλαιον,
ὃ ἐκτήσατο Αβρααμ παρὰ τῶν υἱῶν Χετ, ἐκεῖ ἔθαψαν Αβρααμ
11 καὶ Σαρραν τὴν γυναῖκα αὐτοῦ. [11]ἐγένετο δὲ μετὰ τὸ ἀποθανεῖν
Αβρααμ εὐλόγησεν ὁ θεὸς Ισαακ τὸν υἱὸν αὐτοῦ· καὶ κατῴκησεν
Ισαακ παρὰ τὸ φρέαρ τῆς ὁράσεως.
12 [12]Αὗται δὲ αἱ γενέσεις Ισμαηλ τοῦ υἱοῦ Αβρααμ, ὃν ἔτεκεν
13 Αγαρ ἡ παιδίσκη Σαρρας τῷ Αβρααμ, [13]καὶ ταῦτα τὰ ὀνόματα
τῶν υἱῶν Ισμαηλ κατ᾽ ὄνομα τῶν γενεῶν αὐτοῦ· πρωτότοκος
14 Ισμαηλ Ναβαιωθ καὶ Κηδαρ καὶ Ναβδεηλ καὶ Μασσαμ [14]καὶ Μα-
15 σμα καὶ Ιδουμα καὶ Μασση [15]καὶ Χοδδαδ καὶ Θαιμαν καὶ Ιετουρ
16 καὶ Ναφες καὶ Κεδμα. [16]οὗτοί εἰσιν οἱ υἱοὶ Ισμαηλ καὶ ταῦτα τὰ
ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν καὶ ἐν ταῖς ἐπαύλεσιν
17 αὐτῶν· δώδεκα ἄρχοντες κατὰ ἔθνη αὐτῶν. [17]καὶ ταῦτα τὰ ἔτη
τῆς ζωῆς Ισμαηλ· ἑκατὸν τριάκοντα ἑπτὰ ἔτη· καὶ ἐκλιπὼν ἀπέ-
18 θανεν καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ. [18]κατῴκησεν δὲ ἀπὸ
Ευιλατ ἕως Σουρ, ἥ ἐστιν κατὰ πρόσωπον Αἰγύπτου, ἕως ἐλθεῖν πρὸς
Ἀσσυρίους· κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησεν.
19 [19]Καὶ αὗται αἱ γενέσεις Ισαακ τοῦ υἱοῦ Αβρααμ· Αβρααμ ἐγέν-
20 νησεν τὸν Ισαακ. [20]ἦν δὲ Ισαακ ἐτῶν τεσσαράκοντα, ὅτε ἔλαβεν
τὴν Ρεβεκκαν θυγατέρα Βαθουηλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας

25 2 ζεμραν 911] ζεβραν A*, ζεμβρ. A^c || 3 σαβα pau.] -βαν A | ασουριμ A† || 4 γαιφα Ra. (sim. pau.)] γεφαρ A | ελραγα compl.] θεργαμα A | παντες ουτοι M] tr. A || 9 υιοι 911] pr. δυο A || 11 ισαακ 1⁰ 911] pr. τον A || 15 χοδδαδ M] -αν A || 16 εθνη M] -νος A || 18 σουρ] σουηλ A†